12 *Διωρισμένων δὲ τούτων χρὴ διελέσθαι πόσα τῶν λόγων εἴδη τῶν διαλεκτικῶν. ἔστι δὲ τὸ μὲν ἐπαγωγή, τὸ δὲ συλλογισμός. καὶ συλλογισμὸς μὲν τί ἐστιν, εἴρηται πρότερον. ἐπαγωγὴ δὲ ἡ διὰ τῶν καθ' ἕκαστα ἐπὶ τὸ καθόλου ἔφοδος· οἷον εἰ ἔστι κυβερνήτης ὁ ἐπιστάμενος κράτιστος καὶ ἡνίοχος, καὶ ὅλως ἐστὶν ὁ ἐπιστάμενος περὶ ἕκαστον ἄριστος. ἔστι δ' ἡ μὲν ἐπαγωγὴ πιθανώτερον καὶ σαφέστερον καὶ κατὰ τὴν αἴσθησιν γνωριμώτερον καὶ τοῖς πολλοῖς κοινόν, ὁ δὲ συλλογισμὸς βιαστικώτερον καὶ πρὸς τοὺς ἀντιλογικοὺς ἐνεργέστερον.

13 Τὰ μὲν οὖν γένη περὶ ὧν τε οἱ λόγοι καὶ ἐξ ὧν καθάπερ ἔμπροσθεν εἴρηται διωρίσθω. τὰ δ' ὄργανα, δι' ὧν εὐπορήσομεν τῶν συλλογισμῶν, ἐστὶ τέτταρα, ἓν μὲν τὸ προτάσεις λαβεῖν, δεύτερον δὲ ποσαχῶς ἕκαστον λέγεται δύνασθαι διελεῖν, τρίτον τὰς διαφορὰς εὑρεῖν, τέταρτον δὲ ἡ τοῦ ὁμοίου σκέψις. ἔστι δὲ τρόπον τινὰ καὶ τὰ τρία τούτων προτάσεις· ἔστι γὰρ καθ' ἕκαστον αὐτῶν ποιῆσαι πρότασιν, οἷον ὅτι αἱρετόν ἐστι τὸ καλὸν ἢ τὸ ἡδὺ ἢ τὸ συμφέρον, καὶ ὅτι διαφέρει αἴσθησις ἐπιστήμης τῷ τὴν μὲν ἀποβαλόντα δυνατὸν εἶναι πάλιν λαβεῖν, τὴν δ' ἀδύνατον, καὶ ὅτι ὁμοίως ἔχει τὸ ὑγιεινὸν πρὸς ὑγίειαν καὶ τὸ εὐεκτικὸν πρὸς εὐεξίαν. ἔστι δ' ἡ μὲν πρώτη*

---

**10** *διελέσθαι δεῖ* u (contra Al$^{l}$) **12** *τίς* C ‖ *πρότερον*] p. 100a 25sq. **13** *ἡ* om. C ‖ *ἀπὸ*] *διὰ* CAl$^{c}$ ‖ *ἕκαστα* CAl$^{cp}$ *ἕκαστον* cett. ‖ *τὸ* CAl$^{cp}$ *τὰ* cett. **14** *πρόοδος* Al$^{p}$ ‖ *εἰ* om. A **15** *ἔσται* Cu ‖ post *ὁ* add. *περὶ ἕκαστον ὁ* C **19** *ἐναργέστερον* CuAl$^{c}$ codd. (sed *ἐνεργότερον* a P) *ἐργαζόμενον* Al$^{p}$ **20** *τε* om. u (contra Al$^{c}$) **21** *διῃρήσθω* P **22** post *συλλ.* add. *καὶ τῶν ἐπαγωγῶν* C, quae se non legisse testatur Al$^{p}$ 88, 4 nec habet in Anal. pr. 333, 3 Al$^{c}$ ‖ *εἰσὶ* u ‖ *τέσσαρα* Al$^{cl}$ (etiam in Anal.) **23** *τὸ* om. in Anal. Al$^{c}$ ‖ post *δὲ* add. *τὸ* C Al$^{p}$ ‖ *λέγεται ἕκαστον* C **24** *τὰς*] *τὸ τὰς* Cu *τὸ δύνασθαι τὰς* Al$^{p}$ **25** *τρόπον τινὰ* post **26** *τούτων* colloc. u Al$^{c}$ **27** *πρότασιν ποιῆσαι* C ‖ post *ὅτι* add. *τὸ* Al$^{c}$ (om. Al$^{l}$) **29** *ἀποβαλόντα* C Al$^{c}$ *ἀποβαλόντι* cett. ‖ *ἀδύνατον — 30 δυνατὸν* P ‖ *πάλιν* om. C **30** post *δ'* add. *αἴσθησιν* Al$^{c}$